σης συνῆψαν, καὶ ἔθλιβε τὴν πόλιν ἀπὸ τῆς γῆς καὶ τῆς θαλάσσης,
καὶ οὐκ εἴασεν οὐδένα ἐκπορεύεσθαι οὐδὲ εἰσπορεύεσθαι.
15 [15] Καὶ ἦλθεν Νουμήνιος καὶ οἱ παρ' αὐτοῦ ἐκ Ῥώμης ἔχοντες
ἐπιστολὰς τοῖς βασιλεῦσιν καὶ ταῖς χώραις, ἐν αἷς ἐγέγραπτο τάδε
16 17 [16] Λεύκιος ὕπατος Ῥωμαίων Πτολεμαίῳ βασιλεῖ χαίρειν. [17] οἱ
πρεσβευταὶ τῶν Ιουδαίων ἦλθον πρὸς ἡμᾶς φίλοι ἡμῶν καὶ σύμ-
μαχοι ἀνανεούμενοι τὴν ἐξ ἀρχῆς φιλίαν καὶ συμμαχίαν ἀπεσταλ-
μένοι ἀπὸ Σιμωνος τοῦ ἀρχιερέως καὶ τοῦ δήμου τῶν Ιουδαίων,
18 19 [18] ἤνεγκαν δὲ ἀσπίδα χρυσῆν ἀπὸ μνῶν χιλίων. [19] ἤρεσεν οὖν ἡμῖν
γράψαι τοῖς βασιλεῦσιν καὶ ταῖς χώραις ὅπως μὴ ἐκζητήσωσιν αὐ-
τοῖς κακὰ καὶ μὴ πολεμήσωσιν αὐτοὺς καὶ τὰς πόλεις αὐτῶν καὶ
τὴν χώραν αὐτῶν καὶ ἵνα μὴ συμμαχῶσιν τοῖς πολεμοῦσιν πρὸς
20 21 αὐτούς. [20] ἔδοξεν δὲ ἡμῖν δέξασθαι τὴν ἀσπίδα παρ' αὐτῶν. [21] εἴ
τινες οὖν λοιμοὶ διαπεφεύγασιν ἐκ τῆς χώρας αὐτῶν πρὸς ὑμᾶς,
παράδοτε αὐτοὺς Σιμωνι τῷ ἀρχιερεῖ, ὅπως ἐκδικήσῃ αὐτοὺς κατὰ
τὸν νόμον αὐτῶν.
22 [22] Καὶ ταὐτὰ ἔγραψεν Δημητρίῳ τῷ βασιλεῖ καὶ Ἀττάλῳ καὶ
23 Ἀριαράθῃ καὶ Ἀρσάκῃ [23] καὶ εἰς πάσας τὰς χώρας καὶ Σαμψάμῃ
καὶ Σπαρτιάταις καὶ εἰς Δῆλον καὶ εἰς Μύνδον καὶ εἰς Σικυῶνα
καὶ εἰς τὴν Καρίαν καὶ εἰς Σάμον καὶ εἰς τὴν Παμφυλίαν καὶ εἰς
Λυκίαν καὶ εἰς Ἁλικαρνασσὸν καὶ εἰς Ῥόδον καὶ εἰς Φασηλίδα καὶ
εἰς Κῶ καὶ εἰς Σίδην καὶ εἰς Ἄραδον καὶ Γόρτυναν καὶ Κνίδον
24 καὶ Κύπρον καὶ Κυρήνην. [24] τὸ δὲ ἀντίγραφον τούτων ἔγραψαν
Σιμωνι τῷ ἀρχιερεῖ.
25 [25] Ἀντίοχος δὲ ὁ βασιλεὺς παρενέβαλεν ἐπὶ Δωρα ἐν τῇ δευτέρᾳ
προσάγων διὰ παντὸς αὐτῇ τὰς χεῖρας καὶ μηχανὰς ποιούμενος
καὶ συνέκλεισεν τὸν Τρύφωνα τοῦ ἐκπορεύεσθαι καὶ εἰσπορεύεσθαι.
26 [26] καὶ ἀπέστειλεν αὐτῷ Σιμων δισχιλίους ἄνδρας ἐκλεκτοὺς συμμα-
27 χῆσαι αὐτῷ καὶ ἀργύριον καὶ χρυσίον καὶ σκεύη ἱκανά. [27] καὶ οὐκ
ἠβούλετο αὐτὰ δέξασθαι, ἀλλὰ ἠθέτησεν πάντα, ὅσα συνέθετο αὐτῷ
28 τὸ πρότερον, καὶ ἠλλοτριοῦτο αὐτῷ. [28] καὶ ἀπέστειλεν πρὸς αὐτὸν
Ἀθηνόβιον ἕνα τῶν φίλων αὐτοῦ κοινολογησόμενον αὐτῷ λέγων

14 εθλιβε] pr. συν A | της $2^{0}$] pr. απο A | ουδε SVLa†] και rel. || 15 ταδε] ταυτα SV† || 17 πρεσβευται] ε $2^{0}$ > SV: cf. 14 22 || 18 χιλιων SV*L* La] pr. πεντακισ Apl. || 19 -ησωσιν $1^{0} \frown 2^{0}$ S*† | την χωραν] τας -ρας A | προς SVLa†] > rel. || 21 εκ > S*† | σιμωνι] pr. τω A† || 22 εγραψεν] -ψαν S*†: cf. 24 | αριαραθη] ρ $1^{0} \frown 2^{0}$ AV || 23 σαμψαμη] -ακη A | σπαρτιαταις] σ > A† | σικυωνα] συκιωνα A, συκυωνα S* | καριαν] καριδα A | εις λυκιαν] εις > A†, εις τηκιαν S*† | και εις ροδον και εις (+ την A) φασηλιδα post αραδον tr. Apau. | γορτυναν] ν ult. > SV*L* || 24 τουτων] αυτων A | εγραψαν] -ψεν A: cf. 22 || 25 δευτερα] + ημερα $S^c$, pr. ημερα τη *L* | παντος] -των S† | του] + μη $S^c$*L* | εκπορ. .. εισπορ.] tr. Acompl., εκπορ. .. εκπορ. S*†